μενος· πῶς δὲ ἐξ οὐκ ὄντων ἂν εἴη, τῶν προλεγόντων, ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν· καὶ ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε· ἢ πῶς ἀνόμοιος τῆς οὐσίας τοῦ πατρὸς, ὢν εἰκὼν τελεία καὶ ἀπαύγασμα τοῦ πατρὸς καὶ λέγων, ὁ ἐμὲ ἑωρακὼς ἑώρακε τὸν πατέρα· πῶς δὲ, εἰ λόγος καὶ σοφία ἐστὶ τοῦ θεοῦ ὁ υἱὸς, ἦν ποτε ὅτε οὐκ ἦν· ἴσον γάρ ἐστιν αὐτοὺς λέγειν, ἄλογον καὶ ἄσοφον ποτὲ τὸν θεόν· πῶς δὲ τρεπτὸς καὶ ἀλλοιωτὸς ὁ λέγων δι' ἑαυτοῦ, ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί· καὶ ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· διὰ δὲ τοῦ προφήτου, ἴδετέ με ὅτι ἐγώ εἰμι καὶ οὐκ ἠλλοίωμαι· εἰ δὲ καὶ ἐπ' αὐτὸν τὸν πατέρα τὸ ῥητὸν ἀναφέρει, ἀλλ' ἁρμοδιώτερον ἂν εἴη περὶ τοῦ λόγου νῦν λεγόμενον, ὅτι καὶ γενόμενος ἄνθρωπος, οὐκ ἠλλοίωται· ἀλλ' ὡς ὁ ἀπόστολος, Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας· τί δὲ ἄρα ἔπεισεν αὐτοὺς εἰπεῖν ὅτι δι' ἡμᾶς γέγονε· καίτοι τοῦ Παύλου γράφοντος, δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα· περὶ μὲν οὖν τοῦ βλασφημεῖν αὐτοὺς ὅτι οὐκ οἶδε τελείως ὁ υἱὸς τὸν πατέρα, οὐ δεῖ θαυμάζειν· ἅπαξ γὰρ προθέμενοι χριστομαχεῖν, παρακρούονται καὶ τὰς φωνὰς αὐτοῦ τοῦ κυρίου λέγοντος· καθὼς γινώσκει με ὁ πατὴρ κἀγὼ γινώσκω τὸν πατέρα· εἰ μὲν οὖν ἐκ μέρους γινώσκει ὁ πατὴρ τὸν υἱὸν, δῆλον ὅτι καὶ ὁ υἱὸς ἐκ μέρους γινώσκει τὸν πατέρα· εἰ δὲ τοῦτο λέγειν οὐ θέμις, οἶδε δὲ τελείως ὁ πατὴρ τὸν υἱὸν, δῆλον ὅτι καθὼς γινώσκει ὁ πατὴρ τὸν ἑαυτοῦ λόγον, οὕτως καὶ ὁ λόγος γινώσκει τὸν ἑαυτοῦ πατέρα, οὗ καὶ ἐστὶ λόγος· καὶ ταῦτα λέγοντες καὶ ἀναπτύσσοντες τὰς θείας γραφὰς, πολλάκις ἀνέτρεψαν αὐτούς· καὶ πάλιν ὡς χαμαιλέοντες μετεβάλλοντο [χαμαιλεων] φιλονεικοῦντες εἰς ἑαυτοὺς ἐφελκύσαι τὸ γεγραμμένον· ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθη κακῶν καταφρονεῖ· πολλαὶ γοῦν αἱρέσεις πρὸ αὐτῶν γενόμεναι, αἳ τὴν πλέον τοῦ δέοντος τολμήσασαι, πεπτώκασιν εἰς ἀφροσύνην· οὗτοι δὲ διὰ πάντων αὐτῶν τῶν ῥημάτων ἐπιχειρήσαντες τὰς αἱρέσεις τῆς τοῦ λόγου θεότητος, ἐδικαίωσαν ἐξ ἑαυτῶν ἐκείνας· ὡς ἐγγύτεροι τοῦ ἀντιχρίστου γενόμενοι· διὸ καὶ ἀπεκηρύχθησαν ἀπὸ τῆς ἐκκλησίας καὶ ἀνεθεματίσθησαν· λυπούμεθα μὲν οὖν ἐπὶ τῇ ἀπωλείᾳ τούτων· καὶ μάλιστα ὅτι μαθόντες ποτὲ καὶ αὐτοὶ τῆς ἐκκλησίας, νῦν ἀπεπήδησαν· οὐ ξενιζόμεθα δέ· τοῦτο γὰρ καὶ Ὑμέναιος καὶ Φίλητος πεπόνθασι· καὶ πρὸ αὐτῶν Ἰούδας ἀκολουθήσας τῷ σωτῆρι, ὕστερον δὲ προδότης καὶ ἀποστάτης γενόμενος· καὶ περὶ τούτων δὲ αὐτῶν οὐκ ἀδίδακτοι μεμενήκαμεν· ἀλλ' ὁ μὲν κύριος προείρηκε, βλέπετε μή τις ὑμᾶς πλανήσῃ· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες ἐγώ εἰμι καὶ ὁ καιρὸς

http://digital.slub-dresden.de/ppn334880238/233